## EXCERPTA E SCHOLIIS (Anth.)

*ὁ λόγος δὲ ἀπὸ τοῦ βωμοῦ· ὅτι οὐ τέγγομαι τῷ τῶν ἱερείων αἷματι (μεταφορικῶς δὲ τὸ τῶν ἱερείων αἷμα σηπίας ὀλὸν εἶπεν), οὐ λιβανωτοῦ καπνῷ μελαίνομαι· οὐ γὰρ ὁρᾷς με οὔτε χρυσοῦν οὔτε ἀργυροῦν. οὐδὲ ἐκεῖνος ἴσος ἐμοὶ γένοιτο ὃν τῷ Ἀπόλλωνι ἡ Ἄρτεμις ἐκ κεράτων ἐποίησεν (Κύνθος δὲ ὄρος Δήλου). τὰ τῶν Μουσῶν, φησί, καὶ τῶν Χαρίτων ἔνευσεν ὁ Ζεὺς ἄφθαρτα εἶναι. σὺ δὲ ὁ ἐκ τῆς κρήνης τοῦ Ἑλικῶνος ἐκπιών, τουτέστι τῶν Μουσικῶν πομάτων, θύοις τοῖς θεοῖς σπονδὴν μέλιτος γλυκερωτέραν. φασὶ δὲ Ἀθηνᾶν ἐκ τριῶν φῦναι πατέρων, ἔνθεν Τριτογένειαν καλεῖσθαι.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415773970/193 UNIVERSITÄT LEIPZIG